## Ὑπόθεσις Ἀλκήστιδος Δικαιάρχου.

Ἀπόλλων ᾐτήσατο παρὰ τῶν Μοιρῶν ὅπως ὁ Ἄδμητος τελευτᾶν μέλλων παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνον ζήσῃ. καὶ δὴ Ἄλκηστις, ἡ γυνὴ τοῦ Ἀδμήτου, ἐπέδωκεν ἑαυτήν, οὐδετέρου τῶν γονέων ἐθελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ᾽ οὐ πολὺ δὲ τῆς συμφορᾶς ταύτης γενομένης Ἡρακλῆς παραγενόμενος καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν ἐπορεύθη ἐπὶ τὸν τάφον καὶ τὸν Θάνατον ἀποστῆναι ποιήσας ἐσθῆτι καλύπτει τὴν γυναῖκα, τὸν δὲ Ἄδμητον ἠξίου λαβόντα τηρεῖν. καὶ εἰληφέναι αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου ἀποκαλύψας ἔδειξεν ἣν ἐπένθει.

## ⟨Ἀριστοφάνους[1] γραμματικοῦ ὑπόθεσις.⟩

Ἄλκηστις, ἡ Πελίου θυγάτηρ, ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι, Ἡρακλέους ἐπιδημήσαντος ἐν τῇ Θετταλίᾳ διασῴζεται, βιασαμένου τοὺς χθονίους θεοὺς καὶ ἀφελομένου

---

Lin. 1 *Δικαιάρχου L*] om. *r* 2 argumentum prius et alterius initium illatum scholiis in Platon. sympos. p. 179 (p. 312 ed. Duebner) et descriptum ab Eudocia p. 21. consentiunt schol. Plat. et Eudocia cum *B* uno loco (lin. 7) excepto | ὁ om. *S* 3 τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα] τινὰ τὸν ὑπὲρ αὐτοῦ *S* | τεθνηξόμενον] ἀποθανεῖν *a* 4 ἶσον *Ba* | χρόνῳ *Sa* | δὴ om. *S* 5 τοῦ Ἀδμήτου om. *S* | μηδετέρου *S* 6 ἐθελήσαντος *S*] θελήσαντος *r* 7 ταύτης τῆς συμφορᾶς *Ba* | Ἡρακλῆς παραγενόμενος *Sa* cum schol. Plat. et Eudocia] om. *B*, qui 8 post Ἄλκηστιν inserit ἐντυχὼν ὁ ἡρακλῆς 9 καὶ τὸν] καὶ *B* 11 αὐτὴν τηρεῖν *Ba* | καὶ *L*] om. *r* | εἰληφέναι γὰρ *Ba* | ἔλεγεν *Pa* 12 ἀποκαλύψας *S*] om. *Ba* 13 om. libri. ἄλλως praefixum apud schol. Platonis. Aristophanis grammatici alterum argumentum esse coniecit Wuestemann 14 — p. 4 lin. 14 om. *L*, haec habet *P*: ἄλκηστις πελίου θυγάτηρ ὑπομείνασα τὸν ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς θάνατον ἐσώθη ἐπιξενωθεῖσα τῷ ἀδμήτῳ (sequitur personarum index)

[1]) Grammatiker v. Byzanz, frühzeitig nach Alex. Schüler des Zenodotos & Kallimachos 260-183. Bibliothekar Kritik, Recension des Homer u.a. Schr. „λέξεις" (u. lexikalische Werke)